καὶ εὖ καὶ κακῶς πέφυκεν· οἱ ποιοῦντες εὖ καὶ κακῶς ἐπιστήμης καὶ νοῦ ἀμοιροῦσι. δεύτερος δὲ οὗτος ὑποθετικός· οἱ ῥήτορες εἰ ἀδικοῦσιν, ἐπιστήμῃ καὶ νῷ οὐ κέχρηνται· ἀλλὰ μὴν ἐπιστήμῃ καὶ νῷ οὐ κέχρηνται· οἱ ῥήτορες ἄρα ἀδικοῦσι. τρίτος δέ ἐστιν ἐν δευτέρῳ σχήματι οὗτος· οἱ ῥήτορες κακῶς πράττουσιν· οἱ ἃ βούλονται ποιοῦντες κακῶς οὐ πράττουσιν· οἱ ἄρα ῥήτορες οὐ ποιοῦσιν, ἃ βούλονται. τέταρτος συλλογισμὸς ἐν τρίτῳ σχήματι· οἱ ῥήτορες τὰ δοκοῦντα ἑαυτοῖς ποιοῦσιν· οἱ ῥήτορες ἃ βούλονται οὐ ποιοῦσιν, τινὲς ἄρα ποιοῦντες τὰ δοκοῦντα ἑαυτοῖς, ἃ βούλονται οὐ ποιοῦσιν· πέμπτος συλλογισμός· οἱ ῥήτορες, ἃ βούλονται, οὐ ποιοῦσιν· οἱ μὴ ποιοῦντες, ἃ βούλονται, μεγάλα οὐ δύνανται. ταῦτά ἐστιν, ἃ βούλεται διὰ τούτων εἰπεῖν.

p. 467d. πλούτου γὰρ ἕνεκα πλέουσιν.

τοῦτο διὰ τὸν Πῶλον οἰόμενον ἀγαθὸν αὐτὸν εἶναι, ὥστε οὗ ἕνεκά ἐστι, διὰ τοῦτο γὰρ πλέουσι· τὸ δὲ πλεῖν ἕνεκά του τυγχάνει ὄν. 4

p. 467e. ἆρα οὖν ἐστι τί τῶν ὄντων.

ἐντεῦθεν ἡ δευτέρα διαίρεσις ἄρχεται ἡ περὶ τοῦ ἀγαθοῦ. 5

p. 468c. τὰ γὰρ ἀγαθὰ βουλόμεθα ὡς φῂς σύ.

τὸ ὡς φῂς σὺ εἶπεν, οὐχ ὡς αὐτὸς μὴ δεχόμενος ὅτι τὰ ἀγαθὰ βουλόμεθα, ἀλλ' ὅτι καὶ αὐτὸς ὁ Πῶλος ὡμολόγησε τοῦτο· διὰ τοῦτο οὖν τὸ ὡς σὺ φῂς ἀντὶ τοῦ ὡς καὶ σὺ ὁμολογεῖς. 6

p. 468c. τί οὐκ ἀποκρίνῃ.

ὁρῶν ὁ Πῶλος, ὅτι τὸ συμπέρασμα λοιπὸν ἐγγίζει, ὀκνηρότερον διελέγετο, ὡς τῷ ἡττᾶσθαι μέλλων ὁμιλεῖν· διὰ τοῦτο οὖν λέγει αὐτῷ, ὅτι οὐκ ἀποκρίνῃ. 7

p. 468d. οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν.

τὸ συμπέρασμα ἐξ οὗ λοιπὸν δείκνυται, ὅτι οἱ μὴ ποιοῦντες, ἃ βούλονται, οὐδὲ μεγάλα δύνανται. 8

---

2 mg. β′ 5 mg. γ′ 7 mg. δ′ 10 mg. ε′

---

18 ἄρα οὖν ἐστι τί **M** ἆρ' οὖν ἔστιν τι codd. Plat.